# I. ⟨ΒΙΩΝΟΣ⟩ ΕΠΙΤΑΦΙΟΣ ΑΔΩΝΙΔΟΣ

*Αἰάζω τὸν Ἄδωνιν, ‘ ἀπώλετο καλὸς Ἄδωνις ’·*
*‘ ὤλετο καλὸς Ἄδωνις’, ἐπαιάζουσιν Ἔρωτες.*

*μηκέτι πορφυρέοις ἐνὶ φάρεσι Κύπρι κάθευδε·*
*ἔγρεο, δειλαία, κυανόστολα καὶ πλατάγησον*
*στήθεα καὶ λέγε πᾶσιν, ‘ ἀπώλετο καλὸς Ἄδωνις ’.*

*αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.*

*κεῖται καλὸς Ἄδωνις ἐν ὤρεσι μηρὸν ὀδόντι,*
*λευκῷ λευκὸν ὀδόντι τυπείς, καὶ Κύπριν ἀνιῇ*
*λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα*
*χιονέας κατὰ σαρκός, ὑπ’ ὀφρύσι δ’ ὄμματα ναρκῇ,*
*καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ*
*θνᾴσκει καὶ τὸ φίλημα, τὸ μήποτε Κύπρις ἀποίσει.*
*Κύπριδι μὲν τὸ φίλημα καὶ οὐ ζώοντος ἀρέσκει,*
*ἀλλ’ οὐκ οἶδεν Ἄδωνις ὅ νιν θνᾴσκοντα φίλησεν.*

*αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.*

*ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις,*
*μεῖζον δ’ ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.*
*τῆνον μὲν περὶ παῖδα φίλοι κύνες ὠρύονται*
*καὶ Νύμφαι κλαίουσιν Ὀρειάδες· ἁ δ’ Ἀφροδίτα*
*λυσαμένα πλοκαμῖδας ἀνὰ δρυμὼς ἀλάληται*
*πενθαλέα νήπλεκτος ἀσάνδαλος, αἱ δὲ βάτοι νιν*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415773970/161 UNIVERSITÄT LEIPZIG